ἀναμνηστήσεις τε γῆς· καὶ τῶν κατ᾽ ἀγρούς μηκέτ᾽ ὄντων τῶν ἀνθρώπων πρό-
παλαι δὲ κατοιχομένων ἐπὶ ζημίᾳ ὃν κέρδος· οἷος δὲ ἐφεῦρεν ἐπὶ τούτοις ὁ μι-
σαρὸς κατὰ μηδὲν ἠδικηκότας ἐξορκισμῶν· οἵας εὐπατρίδας καὶ ἀξιολόγους
ἀνδρῶν ἀπαγωγάς, ὧν δὴ τὰς κουριδίας ἀποζευγνὺς γαμετάς, μιαροῖς τισὶ
οἰκότριψιν ἐφυβρίζειν πράξεως αἰσχρᾶς παρεδίδου· ὅσαις δὲ αὐτὸς ὁ ἐσχατό-
γηρως γυναιξὶν ὑπάνδροις παρθένοις τε κόραις ἐμπαροινῶν τὴν ἀ-
κόλαστον τῆς αὐτοῦ ψυχῆς ἐπιθυμίαν ἐπλήρου, τί χρὴ ταῦτα μηκύνοντας
τῶν ἐσχάτων αὐτοῦ πράξεων τὴν ὑπερβολὴν· μὴ κράτα πρῶται καὶ τὸ μηθ-
εῖναι δεῖ ἐλέγχοις· τοιοῦτον τέλος αὐτῷ τῆς μανίας, ἐπὶ τοὺς ἐπισκόπους ἐχώρει·
ἤδη τε τούτοις ὥσαν τοῦ ἐπὶ πάντων θεοῦ θεράποντας ἐναντίους ὑπάρχειν
οἷς ἐδραιουμένους ἡγούμενος, ἐν τῷ μὲν ἐκ τοῦ φανεροῦ διὰ τὸν ἀπὸ τῶν κρειττόνων φόβον·
λάθρα δὲ αὖθις καὶ δολίως συνεσκευάζετο· ἀνῄρει τε τοὺς δι᾽ ἐπιμουχ
τῶν ἡγεμόνων τοὺς δοκιμωτάτους· καὶ ὁ τρόπος δὲ τοῦ κατ᾽ αὐτῶν φόνου,
ξένος τις ἦν καὶ οἷος, οὐδέπω ποτε ἠκούσθη· τὰ γοῦν ἀμφὶ τὴν ἀμάσει
καὶ τὰς λοιπὰς τῶν πόλεων κατεργασθέντα, πᾶσαν ὑπερβολὴν ὠμότητος
ὑπερηκόντισε· ἐν ταῖς ἐκκλησίαις τοῦ θεοῦ, αἷμα μὲν, ἐξ ὕψους· φεῦ ἔδαφος
αὖθις κατερρίπτοντο· τὰς δὲ ἀπέκλειον ὥσαν μὴ συνάγοιντο τῶν
εἰωθότων μηδὲ τῷ θεῷ τὰς ὀφειλομένας ἀποδιδῶν λατρείας· συντελεῖσθαι
γὰρ οὐκ ἤθελε τὸ ὑπὲρ αὐτοῦ τὰς εὐχὰς· συνειδότι φαύλως τοῦτο λογιζόμενος·
ἀλλ᾽ ὑπὲρ τοῦ θεοφιλοῦς βασιλέως παντὸς τοῦ πράττειν μὴ μάλιστα καὶ τοῦ θεῷ ἱ-
λεοῦσθαι πέπεικε· ἐνθένδε ὁρμώμενος καθ᾽ ἡμᾶς τῶν θυμῶν ἐπισκόπων· καὶ
δὴ τότε τῶν ἡγεμόνων οἱ κόλακες τὰ φίλα πράττειν τῷ δυσσεβεῖ πεπεισ-
μένοι· τῶν ἐπισκόπων τοὺς μὲν συνήθως, τούς τε καλοὺς κἀγαθοὺς ἄνδρας περιέ-
βαλλον τιμωρίαις· ἀπῆγόν τε καὶ ἐκολάζοντο ἀπροφασίστως τοῖς μιαιφό-
νοις ὁμοίως, οἱ μηδὲν ἠδικηκότες· ἤδη δέ τινες, καινοτέραν ὑπέμενον
τελευτήν· ξίφει τὸ σῶμα εἰς πολλὰ σώματα κατακρεουργούμενοι· καὶ μετὰ
τὴν ἄπειρον ταύτην καὶ φρικτοτάτην θέαν, τοῖς τῆς θαλάσσης βυθοῖς, ἰ-
χθύσι εἰς βορρὰν ἐρρίπτουν· φυγαὶ δὴ αὖθις ἐπὶ τούτοις τῶν θεοσεβῶν
ἐγίνοντο ἀνθρώπων· καὶ πάλιν ἀγροὶ καὶ πάλιν ἐρημίαι· μάνδραι τε καὶ ὄρη
τοὺς Χριστοῦ θεράποντας ὑπεδέχοντο· ἐπεὶ δὲ καὶ ταῦτα τοῦτον προὐχώρει
τῷ δυσσεβεῖ τὸν τρόπον, λοιπὸν καὶ τὸν κατὰ πάντων ἀναλαμβάνει διωγμὸν ἐπὶ
διάνοιαν ἐβάλλετο· ἐκράτει τε γνωμῶν καὶ οὐδὲν ἐμποδὼν ἦν αὐτῷ, μὴ
ὅτι γ᾽ ἂν ἔργῳ χωρεῖν, εἰ μὴ τάχιστα τὸ μέλλον ἔσεσθαι προλαβὼν ὅ τε οἰκεί-
ψυχῆς ὑπέρμαχος θεός, ὡς ἂν καθεῖς κότον καὶ νυκτὶ ζοφωδεστάτῃ, φασμάτ